# TEZAUR LITURGIC

## 25 IUNIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA
## SF.MARI MUCENIȚE
# FEVRONIA
# DE LA NISIBE

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΚΕ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΟΛΥΑΘΛΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΦΕΒΡΩΝΙΑΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το, Μακάριος ανήρ. Εις δε το, Κύριε εκέκραξα ιστώμεν στίχους η' και ψάλλομεν του Προδρόμου ιδιόμελα β’ , και της Αγίας ς’ Προσόμοια.

Του Προδρόμου. Ήχος δ΄.

Λύει του Ζαχαρίου την σιωπήν, γεννηθείς ο Ιωάννης· και γαρ ουδέ έπρεπε τον πατέρα σιωπών, προελθούσης της φωνής, αλλ ὥσπερ απιστηθείσαν πρώην την γλώτταν έδησεν, ούτω φανερωθείσαν, δούναι τω πατρί την ελευθερίαν ω και ευηγγελίσθη, και εγεννήθη φωνή του Λόγου, και φωτός Πρόδρομος, πρεσβεύων υπέρ των ψυχών ημών.

Ο αυτός.

Σήμερον η φωνή του Λόγου, την φωνήν δι ἀπιστίαν κρατουμένην, λύει την πατρικήν, και της Εκκλησίας

εμφαίνει την ευτεκνίαν δεσμά της στειρώσεως λύονται μητρικά· ο λύχνος του φωτός προέρχεται η αυγή του ηλίου της δικαιοσύνης, μηνύει την έλευσιν, εις ανάπλασιν πάντων, και σωτηρίαν των ψυχών ημών.

Της Αγίας. Ήχος α΄. Πανεύφημοι Μάρτυρες.

Παρθένος ακήρατος σεμνή, ώφθης εκ νεότητος, και τω Χριστώ ηκολούθησας, ασχέτω έρωτι, αρετών ιδέαις, και μαρτύρων αίματι, το κάλλος της αγνείας λαμπρότερον, αποτελέσασα, Φεβρωνία καλλιπάρθενε· δια τούτο, αξίως δεδόξασαι.

Ρωσθείσα δυνάμει του Χριστού, υπέρ φύσιν ηθλησας, Οσιομάρτυς πολύαθλε, καταπαλαίσασα, αηττήτω γνώμη, του εχθρού την δύναμιν, και καύσεις και τομάς του σου σώματος, στερρώς υπέμεινας, Φεβρωνία καλλιπάρθενε, και της πλάνης, ήσχυνας το φρύαγμα.

Ιδουσά σε Μάρτυς τον καλόν, δρόμον διανύσασαν, του σώματός σου ησπάζετο, τα μέλη ένδακρυς, η σοφή Βρυαίνη, και θερμώς εβόα σοι· Πως άσω σοι, ωδήν επινίκιον, Κυρίου θύγατερ, Φεβρωνία καλλιπάρθενε; ότι ώφθης, ημών αγαλλίαμα.

Έτερα. Ήχος δ΄. Έδωκας σημείωσιν.

Άθλησιν υπέμεινας, τη ση παλαίστρα κατάλληλον, Φεβρωνία πανεύφημε, ιδρώσιν ασκήσεως, μαρτυρίου αίμα, συγκερασαμένη· όθεν και στέφανον διπλούν, ο ευεργέτης σοι εχαρίσατο· προς ον και ανελήλυθας, πεποικιλμένη λαμπρότητι, ως Παρθένος πανάμωμος, και ως Μάρτυς αήττητος.

Κάλλει τω του σώματος, η ωραιότης η ένθεος, της ψυχής σου συνέδραμεν ως κρίνον γαρ έλαμψας, εν μοναίς οσίαις, εκλελευκασμένη, και ταις του αίματος ροαίς, πεφοινιγμένη νύμφη πανάμωμε διὸ σε και ουράνιος, τερπνός εδέξατο θάλαμος, και παστάς ακατάλυτος, ως Παρθένον και Μάρτυρα.

Κύκλω παρενέβαλε, σου Φεβρωνία πανεύφημε, ο ρυόμενος Άγγελος· εκ βρέφους γαρ Κύριον, φοβούμενη ώφθης, και ανακειμένη, ως περ ανάθημα τερπνόν, τετηρημένον τω Παντοκράτορι, εντεύθεν κατεπάτησας, την του Σελήνου παράνοιαν, και στεφθείσα ανέδραμες, προς Χριστόν τον νυμφίον σου.

Δόξα. Ήχος πλ. β΄.

Τις επαξίως υμνήσει, τους υπέρ φύσιν αγώνάς σου, ους υπέρ της ευσέβειας ήνυσας, Οσιομάρτυς Φεβρωνία; εξ απαλών γαρ ονύχων, ανατεθείσα τω Θεώ, εν εγκρατεία και οσιότητι αυτώ ευηρέστησας, οία παρθένος άμωμος· και προς μαρτυρικούς άθλους χωρήσασα, ξενοπρεπώς ηνδραγάθησας, ευτονωτέρα φανείσα, πυρός και σιδήρου, τη κραταιά αγάπη στομουμένη, του σου νυμφίου Χριστού. Όθεν θαυμαστώς εδοξάσθης, και πρεσβεύεις απαύστως δοθήναι ημίν, άφεσιν αμαρτιών, και το μέγα έλεος.

Και νυν. Ο αυτός.

Η Ελισάβετ συνέλαβε τον Πρόδρομον της χάριτος, η δε Παρθένος τον Κύριον της δόξης. Ησπάσαντο αλλήλας αι μητέρες, και το βρέφος εσκίρτησεν, ένδοθεν γαρ ο δούλος ήνει τον Δεσπότην. Θαυμάσασα η Μήτηρ του Προδρόμου, ήρξατο βοάν· Πόθεν μοι τούτο, ίνα η Μήτηρ του Κυρίου μου έλθη προς με; ίνα σώση λαόν απεγνωσμένον.

Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα. (Κεφ. λα 10- 26)

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστον ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς εμπορευόμενη μακρόθεν, συνάγει δε αύτη τον βίον. Και ανίσταται εκ νυκτών, και έδωκε βρώματα τω οίκω, και εργατάις θεραπαίναις. Θεωρήσασα γεώργιον επρίατο, από δε καρπών χειρών αυτής, κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο, ότι καλόν εστί το εργάζεσθαι, και ουκ αποσβέννυται όλην την νύκτα ο λύχνος αυτής. Τας χείρας αυτής εκτείνει επί τα συμφέροντα, τους δε πήχεις αυτής ερείδει εις άτρακτον. Χείρας δε αυτής διήνοιξε πένητι, καρπόν δε εξέτεινε πτωχώ. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (Κεω. Μγ’ 9)

Τάδε λέγει Κύριος· Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και

ειπάτωσαν αληθή. Γίνεσθε μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην· ίνα γνώτε, και πιστεύσητε, και συνήτε, ότι εγώ είμι. Έμπροσθέν μου ουκ εγένετο άλλος θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ είμι ο Θεός, και ουκ εστί πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα, και έσωσα· ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο θεός· ότι απ ἀρχῆς εγώ ειμι, και ουκ εστίν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ.γ 1)

Δικαίων ψυχαί εν χειρί θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα οι δε είσιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονταν ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν

καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτῷ , συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, Ιδιόμελα.

Ήχος α΄.

Ηγάλλετο πάλαι, η ση αγία Μονή, ως θησαυρόν το σώμά σου έχουσα, και θείον παραμύθιον, Φεβρωνία πανθαύμαστε· νυν δε ημείς την μνήμην σου τελούντες, των πολλαπλών σου αντιλήψεων, την χάριν τρυγώμεν, και της προς Χριστόν παρρησίας σου, τας δωρεάς λαμβάνομεν· αλλ ὡς εφαίνου τότε, εν τω συμψάλλειν, τάις σαις συμμοναστρίαις, και ευφροσύνης επλήρους αυτάς, ούτω και νυν ημίν επισκίασον αοράτω επισκέψει σου, και πλήρωσον χαράς τας ψυχάς ημών, και θείου φόβου προς σωτηρίαν, Οσιομάρτυς αξιάγαστε.

Ήχος β΄.

Ανακειμένη Χριστώ εκ νεότητος, ανάθημα θείον πέφηνας, και παρθενίας έξοχον άγαλμα, κάλλει ψυχής και σώματος, διαφερόντως εκλάμπουσα, Φεβρωνία καλλιπάρθενε· όθεν

ως νεάνις καλή και άμωμος, των αρετών τα μύρα Χριστώ προσφέρουσα, υπέρ αυτού το αίμά σου, προθύμως εξέχεας, αθλητικώς αριστεύσασα· πικροτάταις γαρ αικίαις ωμίλησας, και ανυποίστοις κατατομαίς το σώμά σου δέδωκας, ανενδότω ψυχή· διο σε ο Κύριος, πλουσιωτάτως αντημείψατο.

Ήχος γ΄.

Ασκητικών αρετών, γεωργούσα τον σπόρον, μαρτυρικών καμάτων εξήνεγκας, τους γλυκύτατους καρπούς, Φεβρωνία πανεύφημε· εξ ων νοερώς μετέχοντες, αληθούς αγαλλιάσεως, και κατανύξεως θείας πληρούμεθα, αναπολούντές σου την άθλησιν· ω του θαύματος! πως φύσις ασθενής και άναλκις, τας δριμυτάτας οδύνας υπέμεινας; την του σώματος κατάφλεξιν, των οδόντων την εκρίζωσιν, και των αγίων σου μελών, τας θηριώδεις τομάς· όθεν πάντας εξέπληξας, τη στερροτάτη ανδρεία σου, και τω σε δοξάσαντι νυμφίω σου διήγειρας κράζειν· Κύριε δόξα σοι.

Ήχος δ΄.

Τετηρημένη τω Θεώ, ως κάλλος απόθετον, ευωδέστατον κρίνον ώφθης, νοητού λειμώνος, Φεβρωνία καλλιπάρθενε·

όθεν εξ αγκαλών σε μητρικών, της θεοφόρου Βρυαίνης, ο διώκτης ήρπασεν εχθρός, όλη εφέσει Χριστώ ατενίζουσαν· όθεν ουδόλως εκάμφθης, ταις αφορήτοις βασάνοις, ούτε την μανίαν έπτηξας, του δυσσεβούς Σελήνου· Αλλ' ἐπὶ Κύριον θεμένη την ελπίδα, ανδρειοφρόνως κατεπάλαισας, τον πονηρόν κοσμοκράτορα, και λαμπαδηφόρος έδραμες, προς τον νυμφώνα της άνω δόξης, εν ευφροσύνη βοώσα· Κύριε δόξα σοι.

Δόξα. Ο αυτός.

Την εν ασκήσει διαπρέψασαν, και μαρτυρικώς Χριστώ προσενεχθείσαν, ως προσφοράν τελείαν και άμωμον, Φεβρωνίαν την Οσιομάρτυρα, μαρτυρικοίς επαίνοις μακαρίσωμεν τον ζυγόν γαρ του Κυρίου αραμένη, την οδόν της ζωής, ουρανόφρονι γνώμη εβάδισε· και το ασθενές του θήλεος απορρίψασα, υπερφυώς ηνδρίσατο, κατά των ορατών και αοράτων εχθρών· και κατ αὐτῶν τρόπαιον μέγα άρασα, το βραβείον της άνω κλήσεως, επαξίως εδέξατο, πρεσβεύουσα απαύστως, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Ε κ παντοίων κινδύνων τους δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, την ελπίδα των ψυχών ημών.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α΄. Χαίροις ασκητικών.

Χαίροις Οσιομάρτυς Χριστού, της παρθενίας μυροθήκη πολύτιμος, οσίων ηθών το άνθος, νύμφη Χριστού ευκλεής, η πεποικιλμένη θείαις χάρισι, Παρθένων αγλάϊσμα, Αθλοφόρων ωράϊσμα, Μοναζουσών δε, αδιάσειστον έρεισμα, και διήγημα, τας ψυχάς πληρούν χάριτος· ρόδον το ευωδέστατον, οσμής ζωής κρείττονος, και ευωδίας της θείας, των υπέρ νουν απολαύσεων, σεμνή Φεβρωνία, η τοις πάσιν αιτουμένη, το μέγα έλεος.

Στιχ. Υπομένων υπέμεινα τον Κύριον...

Χαίροις Οσιομάρτυς Χριστού, η από βρέφους ως θυσία ευπρόσδεκτος, Κυρίω ανατεθείσα, και της αμέμπτου ζωής, δαψιλώς τον πλούτον θησαυρίσασα· φυτεία κατάκαρπος, και σοφόν καλλιέργημα, λόγων και έργων, της Βρυαίνης της μάκαρος, και υπέρλαμπρον, αρετών στηλογράφημα· Κόρη θεομακάριστε, η όψει μεν έκλαμπρος, τη δε ψυχή

λαμπρότερα, και το αθλήσει περίδοξος, σεμνή Φεβρωνία, η τοις πάσιν αιτουμένη, το μέγα έλεος.

Στιχ. Και έστησεν επί πέτραν τους πόδας μου...

Χαίροις Οσιομάρτυς Χριστού, η τη στερρή και υπέρ φύσιν αθλήσει σου, εκπλήξασα πάσαν φρένα, και καθελούσα εχθρού, πάσαν την μανίαν και κακόνοιαν, ανδρείως γαρ ήνεγκας, τας στρεβλώσεις του σώματος, σαρκών εκκαύσεις, και οδόντων εκρίζωσιν, και ποδών ομού, και μαστών την αφαίρεσιν· όθεν λαμπρώς δεδόξασαι, χειρί του Παντάνακτος, και αναβλύζεις τω κόσμω, των ιαμάτων τας χάριτας, σεμνή Φεβρωνία, η τοις πάσιν αιτουμένη, το μέγα έλεος.

Δόξα. Ήχος πλ. δ΄.

Μαρτυρικοίς σου σκάμμασι, της ευσέβειας η δύναμις, εν γυναικείω σώματι, περιφανώς εξέλαμψεν, Οσιομάρτυς ένδοξε· εν απτοήτω γαρ φρονήματι, των της σαρκός περιεγένου πόνων, και τον εν κακία ισχυρόν, εξενεύρισας δράκοντα· εν τοις αγίοις σου γαρ μέλεσιν, ο Χριστός δεδόξασται, κατά Παύλον τον μέγαν. Και νυν του ξύλου της ζωής, κατατρυφώσα αεί, Φεβρωνία πανθαύμαστε, ικέτευε υπέρ των ψυχών ημών.

Και νυν. Ο αυτός.

Βλέπε την Ελισάβετ, προς την Παρθένον Μαριάμ διαλεγομένην· Τι παραγέγονας προς με, η Μήτηρ του Κυρίου μου; συ Βασιλέα βαστάζεις, καγώ στρατιώτην, συ τον Νομοδότην, καγώ τον νομοθέτην, συ τον Λόγον, καγώ την φωνήν, την κηρύξασαν την βασιλείαν των ουρανών.

Νυν απολύεις, το Τρισάγιον, και τα Απολυτίκια.

Ήχος γ΄. Την ωραιότητα.

Ως της ασκήσεως, ρόδον ηδύπνευστον, οσμήν αθλήσεως, τω κόσμω έπνευσας, εις οσμήν μύρων του Χριστού, δραμούσα ασχέτω πόθω. Όθεν ως παρθένον σε, και Οσίαν και Μάρτυρα, θαυμαστώς εδόξασε, Φεβρωνία ο Κύριος· ω πρέσβευε υπέρ των βοώντων Χαίρε σεμνή Οσιομάρτυς.

Έτερον. Ήχος πλ. α΄. Τον Συνάναρχον Λόγον.

Χαίρε σκεύος χαρίτων του θείου Πνεύματος, Οσιομάρτυς και νύμφη του Βασιλέως Χριστού, Φεβρωνία η στερρώς ανδραγαθήσασα· χαίρε λαμπάς θεοφεγγής, των ενθέων αρετών, Αγγέλων η συμπολίτις, μεθ ὧν απαύστως δυσώπει, ελεηθήναι τας ψυχάς ημών.

Θεοτοκίον.

Χαίρε πύλη Κυρίου η αδιόδευτος· χαίρε τείχος και σκέπη των προσιρεχόντων εις σε· χαίρε αχείμαστε λιμήν και απειρόγαμε, η τεκούσα εν σαρκί, τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον τόκον σου.

Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α  Στιχολογίαν, Κάθισμα.

Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Ως όρθρος φαεινός και φωσφόρος ημέρα, ανέτειλεν ημίν, η ση μνήμη Αγία, ημάς καταπυρσεύουσα, ταις ακτίσι των άθλων σου, ους διήνυσας, Οσιομάρτυς ανδρείως, και εδόξασας, μαρτυρικώς Φεβρωνία, Χριστόν τον νυμφίον σου.

Θεοτοκίον.

Ως έγνω σε Αγνή, συλλαβούσαν αφράστως, τον Λόγον του Θεού, εν αχράντω γαστρί σου, ο Πρόδρομος της χάριτος, εν νηδύϊ εσκίρτησεν, αναγγέλων σε, Θεού Μητέρα τοις πάσι,

μεθ᾽ οὗ πρέσβευε, θεοχαρίτωτε Κόρη, υπέρ των ψυχών ημών.

Μετά την β᾽ Στιχολογίαν, Κάθισμα.

Ήχος δ΄. Ταχὺ προκατάλαβε.

Ως λύκος αφήρπασε, σε την αμνάδα Χριστού, σεμνή καλλιπάρθενε, των της Βρυαίνης χειρών, εχθρός ο παράνομος· όθεν και τάις βασάνοις, σου το σώμα σπαράξας, πλούτον τον της ψυχής σου, ουκ εσύλησεν όλως· διο σε Οσιομάρτυς, Χριστός εθαυμάστωσε.

Θεοτοκίον.

Ηνίκα ηγκάλισαι, την Ελισάβετ Αγνή, χορεύων εσκίρτησεν, εν τη γαστρί της μητρός, ο ένδοξος Πρόδρομος· ένδον γαρ εν νηδύϊ, τον Υπέρθεον Λόγον, έφερες Θεοτόκε, σαρκωθέντα ατρέπτως, ω πρέσβευε δεόμεθα, υπέρ των ψυχών ημών.

Μετά τον Πολυέλεον,

Κάθισμα. Ήχος δ΄. Κατεπλάγη Ιωσήφ.

Κατεπλάγησαν την σην, ανδρείαν Μάρτυς αληθώς, οι ορώντες την πολλήν, υπομονήν σου και στερράν, ην ενεδείξω εν τω σταδίω μεγαλοφρόνως· πυρ γαρ και δεινάς, στρεβλώσεις ήνεγκας, ξέσεις και τομάς, μελών του

σώματος, δι· ων αισχύνασα όφιν τον δόλιον, Χριστόν λαμπρώς εμεγάλυνας· Ον εκδυσώπει, Οσιομάρτυς, σώζεσθαι τας ψυχάς ημών.

Θεοτοκίον.

Απορρήτως τον Χριστόν, κυοφορήσασα Αγνή, την ουσίαν των βροτών, εκ της του Άδου κατοχής, προς την αρχαίαν ανύψωσας ευκληρίαν· όθεν ως αρχήν, της σωτηρίας σε, μέλπομεν αεί, και μεγαλύνομεν, και ευχαρίστως το χαίρε βοώμεν σοι, οι σεσωσμένοι τω τόκω σου· χαίρε Παρθένε, Αγγέλων δόξα, και των ανθρώπων διάσωσμα.

Το α’ Αντίφωνον του δ΄ ήχου και το Προκείμενον.

Υπομένων υπέμεινα τον Κύριον.

Στίχ.: Και έστησεν επί πέτραν τους πόδας μου.

Ευαγγέλιον της γ’ Κυριακής των Νηστειών.

Ο Ν΄.

Δόξα: Ταις της Αθληφόρου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β’ ,

Στιχ.: Ελέησον με ο Θεός κατά το μέγα έλεός σου...

Τω θείω πόθω την ψυχήν τρωθείσα, νύμφη ώφθης περίδοξος, του Βασιλέως των ουρανών, Φεβρωνία

Οσιομάρτυς πανθαύμαστε, αγγελική ζωή λελαμπρυσμένη, και τους σπαραγμούς των μελών σου, και των αιμάτων τους κρουνούς, ως πολύτιμον προίκα, αυτώ προσήγαγες, μαρτυρικώς αγωνισθείσα· όθεν αφθάρτων θαλάμων ηξίωσαι, και αϊδίου δόξης, υπέρ ημών πρεσβεύουσα, των τιμώντων τους αγώνάς σου.

Ο Κανών του Προδρόμου, και της Αγίας, ου η Ακροστιχίς· Ύμνοις σε μέλπω προσφόρως Φεβρωνία.

Ποίημα Θεοφάνους. Ήχος πλ. δ΄.

Ωδή α΄. Υγράν διοδεύσας.

Υπέρμαχε δόξης της του Χριστού, παράσχου μοι χάριν, Φεβρωνία και φωτισμόν, την σην ευφημήσαι φωτοφόρον, και σεβασμίαν πανήγυριν άσμασι. Μελέτη θανάτου διηνεκεί, λαμπρύνασα Μάρτυς, Φεβρωνία σου την ψυχήν, έδραμες προς ύψος μαρτυρίου, δια βασάνων πολλών προσαχθείσα Χριστώ. Νεώσασα πόνοις ασκητικοίς, την άρουραν Μάρτυς, της καρδίας σου τηλαυγώς, Μαρτύρων εδρέψω τους στεφάνους, αθλητικώς τω Θεώ ημών άδουσα.

Θεοτοκίον.

Ο νεύματι πάντα δημιουργών, εκ σου Θεομήτορ, εσαρκώθη· ον ευσεβώς, ποθήσασα Κόρη Φεβρωνία, μαρτυρικώς εν αυτώ προσενήνεκται.

Ωδή γ' . Συ ει το στερέωμα.

Ισχύσας τω Πνεύματι, καταβαλείν οφρύν ένδοξε, τυραννικήν, και πολυθεΐας, Φεβρωνία το άθεον.

Συ νυν εστερέωσας, τη κραταιή χειρί Δέσποτα, μαρτυρικώς, αγωνιζομένην, Φεβρωνίαν την ένδοξον.

Σώμά σου τεμνόμενον, υπέρ Χριστού αγνή πάνσοφε, μαρτυρικώς, συ του παραδείσου, εγεώργεις απόλαυσιν.

Θεοτοκίον.

Εύρε σε βοήθειαν, την θεομήτορα Πάναγνε, η ευκλεής, Μάρτυς Φεβρωνία, και τυράννους κατήσχυνε.

Κάθισμα του Προδρόμου.

Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Ο πάλαι ταις ροαίς, Ιορδανού βαπτίσας, την κάθαρσιν παντός, Ιωάννη του κόσμου, πολλοίς με βυθιζόμενον, πλημμελήμασιν έλκυσον, και απόπλυνον, από παντοίας κηλίδος, τον Φιλάνθρωπον, δια παντός ικετεύων, ως πρέσβυς ευπρόσδεκτος.

Δόξα. Της Αγίας.

Ποθήσασα Χριστόν, τον ωραίον εν κάλλει, εχώρησας τομώς, προς μέγιστους αγώνας, δι ὧν τον αρχέκακον, παντελώς εθανάτωσας· ου με λύτρωσαι, των πολύπλοκων παγίδων, οδηγούσά με, ταις σαις ευχαίς Φεβρωνία, προς θείαν μετάνοιαν.

Και νυν. Θεοτοκίον,

Νηδύϊ μητρική, Ιωάννης σκιρτήσας, φερόμενον Αγνή, τον Θεόν εν γαστρί σου, επέγνω θεία χάριτι, και πιστώς προσεκύνησεν, αλλά δέομαι, συν τω Προδρόμω Παρθένε, καθικέτευσον, ον εσωμάτωσας Λόγον, σωθήναι τον δούλόν σου.

Ωδή δ΄. Συ μου ισχύς.

Μώμος εν σοι, όλως ουκ εστί πανεύφημε, Φεβρωνία· συ γαρ αμφοτέρωθεν, τω Λυτρωτή σου και εραστή, τω πεποθημένω, ευαρεστήσαι εσπούδασας, ασκήσεως εν πόνοις, και Μαρτύρων εν άθλοις, κοσμουμένη θεόφρον πανόλβιε.

Εξ απαλών, Μάρτυς ονύχων επόθησας, της αγάπης, πηγήν την αένναον, την εφετήν πάσι λογικοίς ης ορεγομένη,

βασάνων πόνους υπέμεινας, πυρί φλογιζομένη, και μελών στερούμενη, Φεβρωνία παρθένων το καύχημα.

Λόγοις Θεού, εντεθραμμένη θεόσοφε, τοις ποθούσι, λόγον τον σωτήριον, τας ιεράς βίβλους ιερώς, εγχειριζομένη, ενθέως Μάρτυς εξήπλωσας, και της διδασκαλίας, τους μισθούς εκομίσω, των Μαρτύρων την δόξαν πλουτήσασα.

Θεοτοκίον.

Πύλη φωτός, πάσιν εδείχθης Πανάμωμε, τοις εν σκότει, φως το απερίγραπτον, περιγραπτώ σώματι Χριστόν, της δικαιοσύνης, τον ήλιον απαστράψασα οὗ νυν τάις φρυκτωρίαις, Φεβρωνία ρωσθείσα, των Μαρτύρων το κλέος εκτήσατο.

Ωδή ε΄. Ἰνά τι με απώσω.

Ωραιώθης πορφύρα, Μάρτυς εξ αιμάτων σου εξυφανθείση σον εγυμνώθης σώμα, και παθών τον χιτώνα απέρριψας, προ βημάτων στάσα των δικαστών, ω Φεβρωνία, του Χριστού μιμούμενη την γύμνωσιν.

Πυρωθείσα τω πόθω, Μάρτυς του νυμφίου σου, του νοητού την ψυχήν, και θελχθείσα τούτου, καλλοναίς ακηράτοις υπέμεινας, τεμνόμενη χείρας, και των πληγών τας αλγηδόνας, Φεβρωνία Μαρτύρων το καύχημα.

Ροή των σων αιμάτων, της πολυθεΐας την φλόγα κατέσβεσεν οι δε σοι οδόντες, εκριζούμενοι πάσαν ανέσπασαν, των ειδώλων πλάνην, και της τρυφής σοι Φεβρωνία, την αιώνιον τέρψιν ειργάσαντο.

Θεοτοκίον.

Οι σοι πόδες τμηθέντες, θείων μαρτυρίων την τρίβον διώδευσαν, και προς τον τεχθέντα, εκ Παρθένου Αγίας μετέβησαν, εμπεριπατούντες, χαρμονικώς εν Παραδείσω, Φεβρωνία παρθένε θεόνυμφε.

Ωδή στ΄. Την δέησιν, εκχεώ.

Σελήνου, του δυσσεβούς η άθεος, και θρασεία κατεβλήθη ωμότης, της του Θεού, περί πάντων προνοίας, εκζητησάσης το αιμά σου ένδοξε, και σέσωσται δια της σης, καρτερίας ο θείος Λυσίμαχος.

Φωστήρα, θεολαμπή σε έδειξεν, η σοφή και θεοφόρος Βρυαίνη, ταις διδαχαίς εκβιβάσασα Κόρη, και της ελπίδος ουδόλως διήμαρτε· παρέστησε γαρ τω Χριστώ, Φεβρωνία σε νύμφην αμόλυντον.

Θεοτοκίον.

Ο έμψυχος, του Δεσπότου θάλαμος, ο λαμπραίς της παρθενίας ακτίσι, φωτοειδώς, ώσπερ κρίνον εκλάμπων, της

ακανθώδους εν μέσω συγχύσεως, η πάναγνος και ευπρεπής, Θεοτόκος αξίως δοξάζεται.

Κοντάκιον, Ήχος γ΄. Η Παρθένος σήμερον.

Παρθενίας χάρισι, και μαρτυρίου τω κάλλει, κοσμηθείσα ένδοξε, ως πανακήρατος νύμφη, έδραμες, λαμπαδηφόρος τω σω νυμφίω εστεψαι, της αφθαρσίας τη ευπρεπεία, και πρεσβεύεις Φεβρωνία, υπέρ των πίστει υμνολογούντων σε.

Ο Οίκος.

Καθάπερ ρόδον εκλεκτόν, από παιδός εδόθης, τω Βασιλεί των ουρανών, και ηκολούθησας αυτώ, αγγελική διαγωγή, και ήθεσιν ασκητικοίς, οία σεμνή παρθένος· ένθεν παρθενίας εκλάμπουσα κάλλει, και θεουργών αρετών τη ευδοκιμήσει, αθλητικούς αγώνας διήνυσας, ανδρειοτάτω λογισμώ, και ακαταπλήκτω καρδία, καταπλήξασα άπαντας, τη ση αθλήσει Οσιομάρτυς· ότι στερρώς υπέμεινας, τους ανυποίστους αικισμούς, οδόντων εκρίζωσιν, καύσεις και τομάς των αγίων μελών σου, δι αγάπην Χριστού του νυμφίου σου· όθεν παρ  αὐτοῦ θαυμαστώς εδοξάσθης, και πρεσβεύεις αεί Φεβρωνία, υπέρ των πίστει υμνολογούντων.

Συναξάριον.

Τη κε  τοῦ αυτού μηνάς, μνήμη της Αγίας Οσιομάρτυρος και πολυάθλου Φεβρωνίας.

Ωδή ζ΄. Παίδες Εβραίων.

Ρείθρα πηγάζεις ιαμάτων, τοις προστρέχουσιν εν πίστει τω ναώ σου, Φεβρωνία σεμνή, και τω Χριστώ βοώσιν Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Ω της καλής σου πραγματείας! σαρκός αίματος θεόφρον αντηλλάξω, βασιλείαν Θεού πανεύφημε βοώσα· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας.

Θεοτοκίον.

Στίφει παρθένων συγχορεύεις, αξιάγαστε παρθένε Φεβρωνία, τη Παρθένω και Θεομήτορι βοώσα· Ευλογημένος Πάναγνε, ο καρπός της σης κοιλίας.

Ωδή η΄. Επταπλασίως κάμινον.

Φωτοφανώς η μνήμη σου, Φεβρωνία τελείται νυν, ταις φωτοειδέσιν αστραπαίς πυρσεύουσα· φωτί γαρ ωμίλησας, και φωτοφόρος γέγονας, τον φωτοποιόν, και φωτοδότην βοώσα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Εθαυμαστώθης πρότερον, εν ασκήσει πανεύφημε, και μαρτυρικώς κατεκοσμήθης ύστερον οπίσω γαρ έδραμες, του εραστού νεάνις φαιδρά, και σου τους μαστούς, τους αγαθούς υπέρ οίνον, ετμήθης Φεβρωνία, υπέρ της ευσέβειας· οσμή δε σου των μύρων, πιστούς ευωδιάζεις.

Βεβαρυμένος πταίσμασι, Φεβρωνία πανεύφημε, και ταις τρικυμίαις των παθών κυκλούμενος, προσφεύγω τη σκέπη σου, των αμφοτέρων λύσιν ζητών αλλ· ως θαυμαστή, και εκλεκτή τω Δεσπότη, βοώντα μη παρίδης, αλλά με σαις πρεσβείαις, εξάρπασον θεόφρον, εκ βρόχων ψυχοφθόρων.

Θεοτοκίον.

Ρητορευόντων γλώσσαί σε, ανυμνήσαι ου σθένουσιν, ω θεογεννήτορ Μαριάμ θεόνυμφε· Θεόν γαρ εγέννησας, τον επί πάντων Κόρη αγνή, εκ παρθενικής, απειρογάμου νηδύος· ω νυν η Φεβρωνία, μελωδούσα κραυγάζει· Λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Ωδή θ΄. Εξέστη επί τούτω.

Ω θεία του Δεσπότου περιστερά, περιηργυρωμένη λαμπρότητι, παρθενική, σώμα λαμπρυνθείσα ασκητικώς, κεχρυσωμένη πτέρυγας, ταις χλωροειδέσι μαρμαρυγαίς,

της σης ομολογίας, και θείων σου αιμάτων, τους σε υμνούντας καταφαίδρυνον.

Νοϊ προσομιλούσα γυμνώ τω νω, Φεβρωνία κατέλαβες, των ορεκτών, έσχατον και τέλους μακαριστού, επιτυχείν ηξίωσαι, νυν συμβασιλεύουσα τω Χριστώ, λαμπρώς τω σω νυμφίω, αφράστοις εν θαλάμοις, εν ευφροσύνη διαμένουσα.

Ιάσεις αναβρύεις ως ποταμός, ροιζηδόν τοις εν πίστει προστρέχουσι, σου τη σεπτή, θήκη Φεβρωνία θεοειδές, της παρθενίας άγαλμα, άνθος το της φύσεως το τερπνόν, θυγάτηρ Βασιλέως, η ένδον κεκτημένη, της θείας δόξης το αγλάϊσμα.

Θεοτοκίον.

Ανώρθωσας Παρθένε των γυναικών, το ολίσθημα Λόγον κυήσασα, τον ανορθούν, τους κατερραγμένους ως αγαθόν, και κραταιόν δυνάμενον ον η Φεβρωνία η ευκλεής, ποθήσασα συντόνως, οπίσω σου δραμούμαι, αγαλλομένη ανεβόησεν.

Εξαποστειλάρια.

Εξαποστειλάριον του Προδρόμου. Ήχος πλ. δ΄.

Πρέπει τω Ιωάννη η ευωδία πρέπει τω Βαπτιστή, των ασμάτων η τερπνότης οὗτος γαρ εκήρυξε την απαρχήν της ημών σωτηρίας, ο σκιρτών εν κοιλία, και βοών εν ερήμω· Μετανοείτε· του Βασιλέως ο στρατιώτης, ο Πρόδρομος της χάριτος, ο τον αμνόν προμηνύων, και τον Σωτήρα πρεσβεύων, υπέρ των ψυχών ημών,

Της Αγίας. Ήχος γ' . Γυναίκες ακουτίσθητε.

Ασκητικώς το πρότερον, Χριστώ ευαρεστήσασα, πλήρης φωτός ουρανίου, ως αληθώς ανεδείχθης, και μαρτυρίου σκάμμασι, μεγαλυνθείσα πάνσεμνε, μεγίστης δόξης έτυχες, Οσιομάρτυς Κυρίου, πανεύφημε Φεβρωνία.

Θεοτοκίον.

Υπερφυώς συνέλαβες, και υπέρ λόγον τέτοκας, εν ανθρωπινή ουσία, τον Υπερούσιον Λόγον, της αλογίας Άχραντε, τον κόσμον εκλυτρούμενον, δι' ευσπλαγχνίαν άφατον διο σε πάντες Παρθένε, χρεωστικώς ανυμνούμεν.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ιστώμεν Στίχους δ' και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος!

Ω του παραδόξου θαύματος! του μεγαλαύχου εχθρού, το μαινόμενον φρύαγμα, καθελούσα ήσχυνε, Φεβρωνία η πάνσεμνος, εν ασθενεία σαρκός αθλήσασα, και δριμύτατους πόνους ενέγκασα· ω της ανδρείας σου, καλλιμάρτυς ένδοξε! ω της πολλής, προς Χριστόν αγάπης σου! δι’· ης ηρίστευσας.

Ω του παραδόξου θαύματος! πως των μελών σου σεμνή, τας τομάς καθυπέμεινας, ώσπερ αλλού πάσχοντος, Φεβρωνία αήττητε; αλλ ἤ τω πόθω τω του νυμφίου σου, περιεγένου πάντων ως άσαρκος· όθεν εξέστησαν, πάντες οι ορώντές σε, εν απαλώ , σώματι ανύουσαν, στερρώς την άθλησιν.

Μάρτυς Φεβρωνία ένδοξε, των αρετών την οδόν, ισαγγέλως ανύουσα, μαρτυρίου στάδιον, θεοφρόνως διήθλησας, και φοινιχθείσα οικείοις αίμασι, δι’ αμφοτέρων Χριστόν εδόξασας· όθεν απείληφας, δόξαν την ουράνιον, υπέρ ημών, πάντοτε πρεσβεύουσα, των ευφημούντων σε.

Μάρτυς Φεβρωνία πάνσεμνε, πίστει και πόθω πολλώ, η Βρυαίνη η πάνσοφος, το σον θείον λείψανον, δεξαμένη εβόα σοι· Πως σε υμνήσω τέκνον γλυκύτατον, σε την μεγάλα στήσασαν τρόπαια; Όθεν ικέτευε, Χριστόν τον

νυμφίον σου, υπέρ ημών, των υμνολογούντων σου, μνήμην την πάνσεπτον.

Δόξα. Ἦχος πλ. α΄.

Την καθαρωτάτην σου ζωήν, μαρτυρικοίς άθλοις ελάμπρυνας, Οσιομάρτυς αξιάγαστε· εν γαρ ασκήσει του κρείττονος, παρθενικώς Χριστώ εμνηστεύθης, ως αγνή ψυχή τε και σώματι· και εν αθλητικοίς αγώσι, την εν σοι κεκρυμμένην χάριν εδέιξας, και τω αφθάρτω νυμφίω παρέστης, της ευσέβειας τον δρόμον τελέσασα. Αλλ' ω Φεβρωνία καλλιπάρθενε, των αιωνίων αγαθών τυχείν ικέτευε, τους ετησίως σε γεραίροντας.

Και νυν. Θεοτοκίον.

Μακαρίζομεν σε, Θεοτόκε Παρθένε, και δοξάζομέν σε, οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΠΑΝ**

Τα Τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος της Αγίας η γ καὶ στ' ᾠδή.

Απόστολον όρα μηνολόγιον.

Ευαγγέλιον των δέκα Παρθένων, όπερ ζήτει τω ιζ Σαββάτῳ Ματθαίου.

Κοινωνικόν. Εις μνημόσυνον...

Μεγαλυνάριον.

Χαίροις Φεβρωνία πανευκλεής, Οσίων η δόξα, και Μαρτύρων η καλλονή, εν γαρ αμφοτέροις, αθλήσασα νομίμως, εικότως και βραβείων, διπλών ηξίωσαι.

Δίστιχον.

Φεβρωνία αίνεσιν θείαν σοι άδω,

Γεράσιμος μέλπων σου τας αριστείας.

